# ΜΙΧΑΙΑΣ

1 [1]Καὶ ἐγένετο λόγος κυρίου πρὸς Μιχαιαν τὸν τοῦ Μωρασθι ἐν
ἡμέραις Ιωαθαμ καὶ Αχαζ καὶ Εζεκιου βασιλέων Ιουδα, ὑπὲρ ὧν
εἶδεν περὶ Σαμαρείας καὶ περὶ Ιερουσαλημ.
2 [2]Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ ἐν
αὐτῇ, καὶ ἔσται κύριος ἐν ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου
3 αὐτοῦ· [3]διότι ἰδοὺ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ καὶ
4 καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, [4]καὶ σαλευθήσεται
τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς
ἀπὸ προσώπου πυρὸς καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει.
5 [5]διὰ ἀσέβειαν Ιακωβ πάντα ταῦτα καὶ διὰ ἁμαρτίαν οἴκου Ισραηλ.
τίς ἡ ἀσέβεια τοῦ Ιακωβ; οὐ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου
6 Ιουδα; οὐχὶ Ιερουσαλημ; [6]καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλά-
κιον ἀγροῦ καὶ εἰς φυτείαν ἀμπελῶνος καὶ κατασπάσω εἰς χάος
7 τοὺς λίθους αὐτῆς καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω· [7]καὶ πάντα
τὰ γλυπτὰ αὐτῆς κατακόψουσιν καὶ πάντα τὰ μισθώματα αὐτῆς
ἐμπρήσουσιν ἐν πυρί, καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφα-
νισμόν· διότι ἐκ μισθωμάτων πορνείας συνήγαγεν καὶ ἐκ μισθω-
μάτων πορνείας συνέστρεψεν.
8 [8]Ἕνεκεν τούτου κόψεται καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος
καὶ γυμνή, ποιήσεται κοπετὸν ὡς δρακόντων καὶ πένθος ὡς θυγα-
9 τέρων σειρήνων· [9]ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν
10 ἕως Ιουδα καὶ ἥψατο ἕως πύλης λαοῦ μου, ἕως Ιερουσαλημ. [10]οἱ
ἐν Γεθ, μὴ μεγαλύνεσθε· οἱ ἐν Ακιμ, μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου
11 κατὰ γέλωτα, γῆν καταπάσασθε κατὰ γέλωτα ὑμῶν. [11]κατοικοῦσα
καλῶς τὰς πόλεις αὐτῆς οὐκ ἐξῆλθεν κατοικοῦσα Σενναα κόψα-
12 σθαι οἶκον ἐχόμενον αὐτῆς, λήμψεται ἐξ ὑμῶν πληγὴν ὀδύνης. [12]τίς
ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας; ὅτι κατέβη κακὰ παρὰ κυρίου
13 ἐπὶ πύλας Ιερουσαλημ, [13]ψόφος ἁρμάτων καὶ ἱππευόντων. κατοι-
κοῦσα Λαχις, ἀρχηγὸς ἁμαρτίας αὐτή ἐστιν τῇ θυγατρὶ Σιων, ὅτι
14 ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ Ισραηλ. [14]διὰ τοῦτο δώσεις ἐξαπο-
στελλομένους ἕως κληρονομίας Γεθ οἴκους ματαίους· εἰς κενὰ

Mich.: BA. — de QW*LC* cf. Os.
Inscr. μ(ε)ιχαιας γ' BA: cf. Os. inscr.
1 1 μωραθ(ε)ι AQW | βασιλεως A || 2 κυριος $1^0$] + κυριος B, + ο θεος *LC* || 3 και καταβησ. και επιβησ. $B^c$W*LC*] κ. καταβ. > AQ, κ. επιβ. > B* || 5 του BQW] οικου A, > *LC* | ου] ουχι A*L* || 6 εις $1^0$] ως A$W^c$: cf. 3 12 || 8 ποιησεται] pr. και A || 10 γην] υμων A† || 11 σενναα $Q^{c(†)}$] σαινναν *C*†, σενναρ A$B^r$, αιναν *L*† || 13 αυτη] -της AW, > *C*† | ασεβειαι] pr. αι A || 14 δωσεις] ς > BQ | κενα] -νον B*LC*